CARMEN GRÆCVM

# DE COELESTIS DOCTRINÆ STVDIO

OMNIBVS ALIIS DISCIPLI-
NIS ANTEFERENDO:

Inscriptum

ILLVSTRISSIMO PRINCIPI
*ac domino, domino* ALBERTO FRIDERICO,
*Marchioni Brandeburgico, Prussiæ, Stettinensium, Pomeraniæ, Cassubiorum, Vandalorumq; Duci, Burggrauio Norinbergensi, domino suo clementissimo.*

Autore

GREGORIO KROGERO
*Mesylæo Marchico.*

ROSTOCHII
STEPHANVS MYLIANDER
EXCVDEBAT.

M. D. LXVIII.

Kat. centr.

# EPIGRAMMA.

ὄλβος ἐπιχθόνιος μηδεὶς ποτε ἐστὶ βέβαιος.
Πάντα δὲ βαιὰ βίου, ἠδὲ ὀλιγοχρόνια.
Γρηγόρειος νοῦν ποιεῖ ἐπισταμένως ἐποτρύνων
Ἄλλους πρὸς σπουδὴν θεσπεσίοιο λόγου.
Ὅσσα ἐπὶ χθονὶ πυροφόρῳ καλά, πάντα ὀλοῦνται,
Οὔποτε ἡ διδαχὴ ὄλλυται οὐρανίη.

IOHANNES POSSELIVS.

## ALIVD.

*Nuper ut hæc Pietas Crogeri carmina uidit,*
*Hæc ait est nutu uena probanda meo.*
*Scribite uos alij Veneres & furta Poëtæ,*
*Hæc mihi præ uestris carmina sacra placent.*
*Carmina quæ recitant diuini encomia uerbi.*
*Laude nihil toto dignius orbe fuit.*

NATHAN CHYTRÆVS.

Li.i. 400954

# ILLVSTRISSIMO PRINCIPI AC DOMINO, DOMINO ALBERTO FRIDERICO, MARchioni Brandeburgico, Duci Prussiæ, Stettini, Pomeraniæ &c. domino suo clementissimo.

*Marchiacæ princeps decus &*
*laus maxima gentis,*
*Exornas morum qui pietate genus,*
*Conqueritur toties diuinus Naso Poëta*
*Qui fato dignus candidiore fuit,*
*Longa quod exilij duræ tolerantia sortis*
*Ingenium toties fregerit omne suum.*
*Nil grauius tristes lugubre poëma libelli*
*Talia quàm uatis tristia fata gemunt,*
*A ponti gelido nomen quæ litore traxit*
*Hoc peragens querulum pagina finit opus.*

 Si tan-

Si tantus uates qui tam memorabile semper
A tota nomen posteritate tulit,
Qui uelut Oceano scripturis diues ab uno
Pierias in tot carmina fundit opes,
Si dolet in sese quicquid fuit ante uigoris
Tempora facta suis diminuisse malis,
Heu tenuis quanto citius contundere nostri
Ingenij robur tot potuêre uices.
Nam dùm Liuoniæ rigidi certamina Martis
Insontes passim depopulantur agros,
Dumq; feris Mauors Mosci grassatur in armis,
Mulciber & sæuo deuorat igne lares.
Naufragium feci multorum flebile, dudum
Quæ possessa mihi dante fuere Deo.
Iamq; nouæ bis ter complebunt horrea messes,
Autumnus toties & noua musta dabit,
Incubuit postq; nimium constanter acerbus
Fortunæ flatus rebus ubiq; meis,
Nec dum speratos portus & litora nacta
Quæ petijt dudum cymba tenere potest,
Sed

Sed frustrata parum uentis agitatur amicis,
Indubioq; iterum fluctuat ipsa freto.
Ergo si fuerint tulero quæ carmina clare
Iudicio princeps inferiora tuo,
Ingenium mihi fertilius natura negauit,
Quodq; dedit tantis excidit omne malis.
Ah nimis infauste superorum cura uocamur,
Qui sumus Aonij pars quotacumq; gregis.
Nam si nos superi curant, quis rebus iniquus
Vsq; adeo nostris quis Deus esse potest?
An nos ærumnis ideo cœlestia diuum
Numina perpetuo sic onerare solent?
Præcipui quoniam quos olim terra pelasga
Quosq; simul uates Ausonis ora tulit,
Clades, bella, fugas, pestes, incendia, strages,
Humani generis pauperiemq; canunt?
An quia sidera nobis post funera sede
Æthereosq; cibos, ambrosiamq; dabunt,
Nunc lachrimis miscent aloes et pocula myrrhæ
Vt prius hic mira nos coquat arte dolor?
 Nam

Nam posthac diuorum epulis mensaq; fruemur,
Nullaq; res ullo corda dolore premet.
Sic equidem spero, sic spes mea firma manebit,
Donec in hoc ullus pectore sensus erit.
Ergo meæ paruis, quæ currere sueuerat undis,
Grandia cùm puppi uela daturus eram,
Non urbes positas dixi, nec condita regna,
Scripta nec ullius gentis origo fuit,
Mœnia nec rursus bello consumpta feroci
Crudelis uolui condere Martis opus,
Nec lusi uetitos obscœnæ Cypridis ignes,
Impuri cordis reijcit acta Deus,
Carmina diuini potius celebrantia uerbi
Laudes sunt fido pectore facta mihi,
Hoc manet immotum subito sed quæq; profana
Disciplinarum turba perire solet.
Illa tuo præstans edam sub nomine princeps,
Nam tituli gaudent nomen habere tui,
Vt cuius bonitas toto celebretur ab orbe
Et ueræ uerus relligionis amor.
Debue=

Debuerant uersu fateor præconia talis
Doctrinæ multo splendidiore cani,
Hæc siquidem fons est ditissimus unica nostræ
Vnde beatificæ uena salutis abit.
Sed Deus ingenium spacio conclusit in arcto
Quod nunc est multo, quàm fuit ante, minus.
Scilicet id nobis, ut dixi, grande malorum
Quottidie crescens attenuauit onus.
Attamen in rebus mentis conamen honestis
Sufficit, in magnis & uoluisse sat est.
Ergo mihi ueniam des quæso pijssime princeps,
Si mea spe fuerint uerba minora tua.
At dicis culto tibi quæ non nascitur aruo
Haud aliena fuit falce metenda seges.
Non nego, sed magni poscit tamen arbiter orbis
Cantari laudes quolibet ore suas,
Organa propterea nobis sunt indita uocis,
Nostraq; mens sacræ semina mentis habet,
Ora resoluentes ultro celebremus ut ipsum
Æternæ merito laudis honore Deum.
Paucis

*Paucis hoc legitur uerbis sensisse Menander*
*Disce loquare simul relligionis opus,*
*Altera uox mentem poscit, uox altera linguam,*
*Vtraque facta fuit res celebrare Deum.*
*Ergo iustifici patris de dogmate uersus*
*Quos Graijs cecinit nostra Thalia modis,*
*Oro suscipias placido dux inclyte uultu,*
*Ingenij tanquam munera parua mei.*
*Sic meliore tibi faustos seruantia cursus*
*Perpetuo posthac sidere fata fluant.*

Tuæ Celsitudi:

Humilis
minister

GREGORIVS KROGERVS Mesylæus.

CARMEN

CARMEN GRÆCVM

# DE DOCTRINÆ COELESTIS STVdio omnibus alijs disciplinis antefrendo.

Ἀενάου θυμὸς με θεοῦ γλυκυτῆρος ἀνώγει
Εὐλογίαις κλείειν ζωαρκέα χεύματα μύθων,
Ἀλλ' ὀμφῆς πίσσον θεοπέμπτου χεῦμα βίητε
Ἐστὶ μὲν οὖν γε βροτῶν οὐδεὶς ἐκφράσσαι ἂν οἶδεν,
Εἰ στόμ' ἐνείη ἄρρηκτον καὶ χάλκεον ἦτορ,
Εἰ μὴ γὰρ φρεσὶν οὐρανίῃσι βολαῖς σελαγίζει
Πνεῦμα θεοστόργων αἰὲν νοερὸν φάος ἀνδρῶν,
Οὐκοῦν ὀλβιόεργε πάτερ, κύδιστε, μέγιστε,
Ποικιλόδωρε ἄναξ, σύμπασιν ὃς ἐμβασιλεύεις,
Ἄχρονον ὃς γεννήσας ἐν ἀρρήτῳ χρόνῳ υἱόν.
Καὶ σὺ ἐπουρανίων ἀδύτων ὑψίθρονε ποιμὴν
Ὦ χείρ' ὑψιγένεθλε τοκῆος ὁμήλικος υἱοῦ,
Ἰσοφυὲς πατρός, καὶ ἀτέρμονι σύνθρονος ἕδρῃ,
Αὐτολόχευτος ἀνὴρ δίχα πατρὸς ἀζυτόκοιο,
Ὅσπερ παρθενικῆς ἐγκύμονα γαστέρα δύνων
Σαρκώθης μητρὸς Μαρίας σωτήριος ἔρνος,
Ὄφρα γένοιο ἀμαρθοσύνης αἰσχρούργου ἱκανὸς
Ἡμῶν λυτρωτής τε, δικαιοσύνης τε ποριστής.


Πνεῦμα

Πνεῦμα θεόσσυτον ὦ προπορευόμενον γενετῆρος
Καὶ υἱοῦ ἀπὸ πομπὸς ἐὸν ἀτρεκέην ἐνὶ πᾶσιν.
Ὑμεῖς μὲν τρί' ὑφιστάμεν', ἓν δ' ὅμως γένος ἐστί,
Σύμφυτον, αὐτόπρεμνον, ὅθεν φυτὰ μύρια κόσμου.
Ὑμέες ἡνιοχεύοντες ξυνήονι βουλῇ
Τὰ κτισθέντα διοικέετ' αἰὲν ὁμόζυγι θυμῷ.
Νῦν οὖν νημερτῆ σε θεὸν σωτῆρα ἐάων
Ἱκετίης κήρυκι θεοκλήτῳ τινὶ φωνῇ
Λίσσομ' ἀπουρανόθεν μοι πνεῦμα διδάσκαλον, ἁγνόν,
Πνευματικαῖς ἀκτῖσι καταυγάζων φρέν' ὀπάσσης.
Ὄφρα σοῦ ἀτρεκέος ζωοδώτορα ῥήματα φανῆς
Εὐέπω καλῶς ῥὰ θεοσσύτῳ ἀνθερεώνῃ.
Γραπτὰ θεοφραδέων πέλεται μὲν θέσφατα βίβλων
Ἀθανάτῳ σάλπιγγι βοῶσα θεηγόρου ὀμφῆς
Μαρτυρίην νημερτέ' ἀλιτροβίῳ ἐνὶ κόσμῳ.
Ἀλλ' ὥνπερ κεχαραγμένα θέσφατα ἱρὰ κομίζει
Οὐδὲν ἐφευρέμεναί που ἐπιχθονίων φύσις ἀνδρῶν
Ἔσθενεν, οὐδ' Ἑρμῆς πολυΐδρις ποικιλομήτης.
Οὔτ' ἐχέφρων περ Ἀριστοτέλης, ἢ Πάλλας Ἀθήνη,
Ἔγκυος οὐδέ τις ἄλλος ἀνὴρ σοφίης, πινυτόφρων.
Ἀλλ' ὅσαπερ Πέτρος Χριστοῖο φιλήκοος ἀνὴρ
Ἐμπεδόμυθος ἑταῖρος ἐπέγραφε θέσπιδι βίβλῳ,
Τῶν ἁγίων αὐτόθροον αὐτοκέλευτος ἴαλλεν
Οὐδεὶς μῦθον ἀνὴρ αὐτόσσυτα χείλεα λύσας,
Ἀλλ' ἁγνοὶ φῶτες θεοδινέος ἔγχυοι ὀμφῆς
Πνεύματι παφλάζοντες ἐὸν οὔατα δύσμαχα φώτων,
Χείλεσιν

Χείλεσιν ἀπλανέσι σπεῖραν θεοδέγμονα μῦθον,
Γράψαντες τούτου ἀριδείκετα γράμματα βίβλοις
Μαρτυρίην παισὶν ζώουσαν ἐν ὀψιγόνοισιν.
Τῶνδ' ἀνδρῶν τρία ἦν γένε' ἐν λιποφεγγέϊ κόσμῳ,
Ἄλλοι μὲν πατέρες ἦσαν πω ἀρχιγένεθλοι,
Κήρυκες τινὲς ἐσσομένων ἐγένοντο προφῆται,
Ἀγχιθέων τρίτατον γένος ἦν Χριστοῖο μαθηταί.
Τείσσα γένη τάδε τὴν ἀρχὴν ἀν' ἀφεγγέα κόσμον
Ἄφθιτον ἀΐδιον λόγον ἔσπειραν θεοῖο,
Ὧν ἀφ' ἑοῦ διδαχὴν ἐκκλησίη ἔμμορεν ἁγνήν,
Ἡ θείης νοεροὺς σοφίης σπινθῆρας ἰάλλει,
Κἀχλυόεντα χαμαιγενέων κραδίην καταλάμπει
Φώτων, καὶ ἄμμιν φαίνει ὕψαυχεν ἐέλδωρ
Ἄτρεπτον, φρενοθελγὲς παντοκράτεο τοκῆος,
Καὶ γνώμων ἰθυντὴρ ἀνδρομέου βιότοιο
Αὐτοβόητη ἀσιγήτῳ σάλπιγγι λαλοῦσα
Πάντεσσιν καταδείκνυσι πασιμέλουσα βροτοῖσιν
Ἀτραπὸν ἰθυπόροιο κελεύθου εἰν ἑνὶ θυμῷ.
Οὐκ ἀπατηλόν, ἄγοντ' ἐς οὐρανὸν ὑψιμέλαθρον
Ζωῆς ἐσσομένης, ἣν ἔλλαχε συνδρομος αἰών.
Ἡχι θεοῦ σχέδοθεν φανερῶς ὑψίζυγα τιμὴν,
Καὶ ζαθέην μορφὴν ἀντώπιον ἐκτὸς ἀκουῆς
Ὄμμασιν ἀπλανέεσσιν ἐσαθρήσας ἀνάπαυστος,
Ὅς ῥα θεὸν δέξοιτο νόου προθήμονι βουλῇ,
Ζωῆς κυδιάνειραν ἀλωφήτοιο γαλήνην
Ὄψει, καὶ ἀπολαύσων χαρμοσύνης ἀβάτοιο,


Εὐγνω-

Εὐγνωμοσύνης κήρυκι μελίσματ' ἀείσει.
Ἠδέ τε μειλίξων θεὸν οὐράνιον βασιλῆα,
Οὐ λήξων ὑμνεῖν ποθ', ἕως κυκλούμενος αἰὼν
Ἱππεύῃ ἀκίχητος ἑὼν χρονίῃ περὶ νύσσῃ.
Ἔνθεν ἀλήϊος ὅποτ' ἀνέστιος ἠδὲ πενιχρός,
Γαμμάσιαρος δὲ ξυνεργίαις μεμελημένος ἀνὴρ
Ἐστί, λαχὼν μόρον ὃς πεφυλαγμένον ἀμβρότου αὐλῆς
Ἀθάνατος ναέτης ὢν ὑψορόφοιο μελάθρου,
Ἠμὲν ὁμέστιος, ἠδ' ὁμοδέσπιος ἐλαπινάστης,
Ἀμβρόσιον πίνει πότον αὐτοφύτοιο γονῆος.
Ἠδὲ γὰρ ἐς εὐδαιμονίην τε ξυνεργίη τε
Τῆσδε θεοπνεύστοιο διδασκαλίης ἀφικάνων
Καρπὸς ἀειθαλέθων, ὃν μὴ χρόνος οἶδεν ὀλέσσαι,
Εἰς ὅσσον παλιναυξεῖ κύκλῳ ἑλίσσεται αἰών,
Τὴν δ' εὐδαιμονίην σοφίαις μεμελημένον ἄνδρα
Οὔποτ' ἀκριβὲς ἔην σθένος ἰχνίον ἀτάρπης εὑρεῖν,
Κἄνπερ νωλεμέως οὐ ἅπαντα νοσσφαλὲς ὄμμα
Πολλὰ τιθήνῃ, ὅσσα φέρει κόσμος πολυχανδής,
Ἀλλ' οὐθ' ὥς γε συνοιάων οὐ ἄνυσιν ἔδηον.
Πάντων γὰρ σφαλεροῖο νόου ἐστραλκεῖ θυμῷ
Οὔποτε τὴν σφείων πω ἐπιστώσαντο μενοινήν,
Ἀλλὰ πολυπλανέεσσι φρενὸς ἠνέχθησαν ἀέλλαις,
Ἠΰτ' ἀφωτίστοιο προσώπου ἀνὴρ περίφοιτος
Σωΐδρομος ὢν ὀρφνῇ λιποφεγγεῖ τυφλὸς ὁδίτης
Στείχει ὁδὸν σφαλερὴν ἐν ὀλισθηροῖσι πεδίλοις
Ἀγνοοσον. καὶ ἄκαμπτον ἔχων ἀνθρώπιον ὁρμήν.

Ὣς κεῖνοι

Ὣς κεῖνοι πλαγχθέντες ζοφοέντι μενοινῇ
Οὔποτ' ἀναμφήριστον ὅλως τ' ἀγαθὸν πολύδικτον
Οὐ κατὰ δεικνύμενα ἐδύναντ' ἰσόζυγι βουλῇ,
Οὐ καὶ Ἀριστοτέλης σοφίης περ ἑὼν ὀχετηγὸς
Ἠδὲ χαμαιγενέος διδαχῆς τὸ ἐτήτυμον ὄμμα.
Ἀλλήλοις δ' ἅπαντες ἀεὶ ἑτερόφρονι μύθῳ
Φρασσάμενοι ἄμφις περὶ τοῦ ἀγαθοῖο γ' ἔριζον,
Ἠδ' ἕκαστος ἑοῦ διδαχὴν ὡς ἐμπεδόμυθον
Βούλετ' ἀμεμφέα μύθοις σφρηγίσσασθαι ἀλύτοις
Θυμὸν ὁμοζήλῳ σοφίης μάλ' ἑοῖο μενοινῇ
Εἰς πολυπορέων μεμαὼς ἀπείρξειν στίχας ἀνδρῶν.
Αὐτὰρ ὅσοι χθονὸς αἷμα κομίζουσι χθονὸς ἔργα
Φράζουσ' ἀμφαγαπῶντες ἐτώσια πολλὰ νόεσιν,
Οὐρανίην εἰ μὴ διδαχὴν γε μὴν ἐν ἐρωῇ
Καὶ σοφίην κράσαντες ἐπιχθονίην μεθέπωσι.
Ἐκτὸς γὰρ μύθοιο θεοῤῥήτου φρενὸς οὖσιν
Καὶ δύναμις φρουδὴ καὶ ἐρωὴ πᾶν τε νόημα.
Καὶ γὰρ θεολόγος διδαχὴ φυτὸν οὐρανόκαρπον
Ὑψίστου σοφίη φρενὸς ἐκγεγαυῖα τοκῆος,
Πανθελγῆ αὐτοῦ σοφίης μυστήρια πνέει,
Οὐδὲν ἐπιχθονίης φύσεος μινυώρεον ἔργον,
Ὄργανα ἢ βιότου δρηστήρια δείκνυσι τέχνας,
Σύγχρονος αἵ εἰσιν μοῦνον μερόπων ἐπὶ ἔργων,
Ἠδὲ ταχυφθίμενος βιότοιο διάκορος θυμός,
Τῶν ἐξόχον τινὰς ἀγχίνοοι μάλα φώτων,
Θυμοθέτης ἀγαθὰ φρονέων ᾗσιν Ἀθήνων

 Κέκροπος

Κέκροπος οἷα Σόλων ἐν ἐϋκτιμένῳ πτολιέθρῳ
Θῆκε νόμους, σωτήρια δόγματ᾽ ἄλυτα γενέθλης,
Ἀνδρομένης φύλακάς τε δικαιοσύνης τε καλοῖο.
Νυκτιφανῆ δὲ Θάλης πολυδέρκετος ὄμματ᾽ ὀλύμπου
Ἀστρ᾽ ἀδίδακτος, ἀπευθέας ἠδ᾽ ἀδαήμονας ἄνδρας
Αὐτόματος μετρήσαντας κρίνειν ἐδίδαξεν.
Λυσιπόνους βοτάνας Ἐπιδαύριος ὡς καταφήνας
Τοῖς υἱοῖσιν ἰητρῶν πολλὰ φέρων ἐπίηρα
Μητιόεντα μαθητεύσειν σὺν φάρμακα ποιεῖν.
Δημήτηρ ἀρότου δεικνῦσα βροτοῖσιν ἄπειρον
Κἄσπαρτον γαίην θεῖναι ἐριβώλακ᾽ ἄρουραν,
Πυροφόρους καρποὺς εὖ τήνδε δίδαξεν ἐνεῖκαι.
Ὡς πολλοὶ φρένας ἄφνεοι καὶ αὐτοδίδακτοι,
Εἰδότες τε βροτοὶ πεπνυμένα μήδεα θυμοῖς,
Εἰς θνητῶν τέχνας ἐσενήνοχασιν γένος ἀνδρῶν
Ὧν πολλὴ χρειὼ πάντας πέλε σῖτον ἔδοντας,
Αὐτῆσιν δὲ φερέσβιον ἄφθιτον οὐδὲν ἐνῆεν.
Οὐ μὲν γὰρ χθονίου μετὰ τὴν νοῦσον βιότοιο,
Οὐδένα τῶν θνητῶν εὑρήματα ἔμπεδα μίμνει,
Σωζόμεν᾽ ἀπὸ κόσμου τετράζυγι πέσετ᾽ ὄλεθρον,
Οὔτ᾽ ἐν μικροβίοις καὶ ἀπνευστοῖσι λόγοισιν,
Ἀλλὰ θεογλώσσων ζωαρκέα χεύματα μύθων
Ἀενάου ζωῆς βιοδώτορα ῥήμαθ᾽ ὑπάρχει,
Ἔμφυτον ἐν αὐτοῖς ζωὴν καὶ πνεῦμα φέροντα.
Εἰ γὰρ τόνδε νόον τις θελγομένῃσιν ἀκουαῖς
Δεξάμενος πραπίδεσσιν ἀσυλήτοισι φυλάσσει,
Εἶν ἑῷ δ᾽

Εἶν ἑῷ δ᾽ ὡς νοερῷ καὶ αὐδήεντι μελάθρῳ,
Πνεῦμα θεοῦ πατρὸς ἀρχέγονον φῶς ἐμφιλοχωρεῖ,
Πίστιος ἐνδόμυχον δὴ ὑπὸ φρένα λύχνον ἀνάπτειν,
Καὶ τυφλὸν θέμενος νόον ἰθυκέλευθον ὁδίτην,
Ἀντίτυπον μίμημα θεοῖο θελήματος ὁρμὰς
Ἀπλανέας μὲν ὑποσπείρει ὑπὸ τὴν κραδίην, καὶ
Ταύτης μεσοφανὲς νοεροὺς ἀκτῖνας ἰάλλον,
Τῆς φρενὸς ἐγκεχυμένην ὅλως ζοφόεσσαν ὁμίχλην
Εὖ σκεδάσειν, καλὸν αἰθέριον φάος ἔνδον ἐγείρει,
Εἶν ᾧ ὀφθαλμὸς κραδίης, ὡς ἐνὶ κατόπτρῳ.
Τὴν σοφίην καὶ τελείως ἐσθλοδόταο ὄκνος,
Καὶ φύσιν ἀμφαδίην καταγινώσκει ὑποδόρκων.
Ἐσσομένης ἔνθεν ζωῆς αἰωνίου ἀρχή,
Καὶ φρενὸς εὐφροσύνη ἀποβαίνει ἠδὲ γαλήνη.
Ὡς γὰρ Χριστὸς ἔειπεν ἄναξ φρενοθελγέϊ μύθῳ,
Ὅνπερ Ἰωάννης ᾧ ἐπέγραφεν ἔμφρονι βίβλῳ,
Ἡ βιοτὴ μὲν ἀλωφήτου αἰῶνος ὑπάρχει,
Γινώσκειν θεὸν εἴ τις ἀτέρμονος ἐλπίδα κόσμου,
Καὶ αὐτοῦ νεκυοσσόον υἱὸν Χριστὸν Ἰησοῦν,
Ἀνδρομένης ὃν ὄρεξεν ὅλης σωτῆρα γενέθλης.
Ἤτοι μὲν θεὸς ὑψιθόωκος ἄναρχος ἐοῖο
Φραδμοσύναις ἀνεφίκτοισίν περ ὅμως φιλοεργοῖς
Αἰγλιομόρφου ἔτευξε θεμείλια δαίδαλα κόσμου,
Ὄφρ᾽ εἴη υἱὸς ῥα διδάσκαλος, αὐτοβόητος,
Φωνῆς τε θεοῦ σοφίης καὶ θεοκέλου ὀμφῆς,
Χθὼν μὲν ἐπιχθονίων ἀναμαρτήτων πέδον ἀνδρῶν
Εἴως

Εἵως κεν μίμναιεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
Αὐτὰρ ὄλυμπος ἐὼν ἕδρης θεοδέγμονος αὐλῆς
Γυμνάσιον θεόκλητον ἀθηκτὴν κερεώνων,
Ἠμὲν ἐπουρανίων ψυχάων ἀγγελικάων,
Ἠδὲ χαμαιγενέων σωθέντων ἄμβροτον ἕδρας.
Ἦμος γὰρ ταχυδινέος ὀξείῃ στροβάλιγγι
Τῆς ἕκτης φέγγος νεοτευχέος ἤγαγεν ἠὼς,
Τῆμος ἐπισταμένως τεχνήσατο σιγαλόεντα
Θαμβαλέα κτίστωρ κόσμου ποιήματα καλοῦ,
Καὶ πανδερκέος ἁγνὸν ἄφεν κύκλον ὀπωπῆς,
Ἵλαον ὄμμα φέρων εἰς οἷο κτίσματα πάντα,
Ὅσσα σοφῷ ζωέργῳ ἔην τετελεσμένα μύθῳ,
Ταῦτα θεῷ τεχνήμονι πάμπαν ἐφήνδανε θυμῷ.
Αὐτὰρ ἔην ἐν τοσσατίῃ οὐ πλήθεϊ μηδὲν
Κτισθέντων, κἄντης βιοτήσιον ἄσθμα τιτήνη,
Τῆς σοφίης φέγγος ὧ στέρθεν γε φοραυγέος αἴγλην,
Ἠδὲ νοήμονας ἐντιθέναι ἔθελεν πάτερ αὐγάς.
Τοὶ γὰρ σαυτῷ ἀποθέα δοὺς λόγον ἠπιόδωρε
Παγγενέτης τε τοιοῦ ψυχόσσοον ἔγχεας ὀμφὴν,
Ἡμῶν νῦν γαιήϊος εἴη ἀνὴρ τέλος ἔργων,
Εἰν ὧ οὐ μοῦνον νὺ φυτεύομεν ἔμπνοον ἄσθμα
Σαρκὸς ἐὸν μινυωρείου ἡνιοχῆα βίοιο,
Ἀλλ' ἡμῶν εὐχεύαντες φεγγὸς ἔμφρονας αὐγάς,
Εἰν αὐτοῖο φρεσὶν θυμὸν ῥα πανείκελον ἡμῖν,
Ἁγνὸν, ἀληθινὸν, ἠδὲ δίκαιον τεύξομεν ἀνδρὸς,
Θνητὴν ἡμῶν σοφίης τε δικαιοσύνης τε

Μιμηλὴν

Μιμηλὴν τελέοντες ἀληθῆ εἰκόνα καλὴν,
Ἄμβροτος ὄφρα φόρευειν ἡμετέρης ῥόος αὐδῆς
Αὐτοῖο πραπίδεσσιν ἀεὶ φρουρούμενος εἴη.
Ὡς μὲν ἔφη γενετὴρ θεός ἀθάνατός τε μέγας τε,
Χερσί τε ἀμβροσίῃσιν ἄναξ ταχύεργος ἑῇσιν
Ἐκ πηλοῦ ἔπλασσε καλὴν βροτοειδέα μορφὴν,
Ἐκ γαίης ὥσπερ κεραμεὺς πλάσσει κεραμεῖον,
Εἶθαρ ἀναπτύξας χεῖλος βιοτήσιον αὐτῇ
Ἀμβροσίου ἀφ' ἑοῦ στόματος φύσημ' ἐνέφυσεν,
Ῥίμφα λάλον γένετο ζῶον περιφερέστατον ἄλλων
Ἀδὰμ πρωτόγονος βιότοιο φυτόσπορος ἡμῶν,
Τόνδε πατὴρ ὑψιβρεμέτης οὐκ ἤθελεν οἶον
Ἀμφιπολευέμεναι πολυχανδέος ἔνδον αὐλῆς.
Οὐ μὲν γὰρ δυνάται βρότεον γένος οἶος ἀέξειν,
Ὑψιμέδων δὲ γονεὺς τοῦτ' αὐξανέμεν θέλε μᾶλλον,
Πλείονες ὄφρα γένοιντο θεοῦ δρηστῆρες ἰωῆς.
Τοὶ γὰρ ἐπὶ βλεφάροισιν ἐκείνου ὕπνον ἔνωρσεν
Νήδυμον, ᾧ τὰ μέλη δεδμημένος, ἐκτάδιός τε
Κεῖτ' ἀνὴρ ἐν ὀνειρείῃσι πύλῃσι δαμασθεὶς,
Σώματος ἐκ τοῦδε πλευρὴν μετανάστιον εἷλεν,
Ἐξ ἧς φωτὶ συνέστιον οἰκοδόμησε γυναῖκα,
Ἡ ὁμόφοιτος ἔοικε πολυπλάκτοιο μελάθρου,
Σύν τε πόσει οἰκοῦσα ἑῷ μάλ' ὁμόφρονι θυμῷ,
Καὶ φιλότητι μιγεῖσα φιλακρήτῳ ἐνὶ παστῷ,
Τίκτει τέκνα ἐρωτικοῦ βλαστήματα σαρκὸς,
Ὄφρα γένοιτο πολυσπερέων ἀγέλη ἐνὶ κόσμῳ

 Ἀνθρώ-

Οὐδὲ πάλιν τινὰ δερκόμενος πω γείτονα πότμῳ
Νυσικόμοις κλιντῆρ᾽ ἰαύειν νέκρον ἄναυδον κλιντῆρε
Μαστιόσαιτ᾽ ἀλλήλων ἀμύσσων πένθεϊ θυμόν.
Πρόσθ᾽ οὐδ᾽ ἐν θοῦρος πολεμιστὴς τειχεσιπλήτης
Ποῖ πόλεμον δυστυχῆ ἐνωρσέμεναι ἐδύναιτο,
Ἀλλὰ βιόσσοος εἰρήνη περιμνήσιον αἶης
Ἡνιοχεύσει᾽ ἐπιχθονίων βιότῳ ὁμόφοιτος,
Ἐν πολλῇ δὲ ἡσυχίης θαλίῃ τε τρυφαῖς τε
Θρεψαμένη γαίης πολυφόρβου αἴολα φῦλα,
Ἀλκύονος νοσρὸν μίμημα γαληνοφόροιο.
Χαρμοσύνη δὲ θεοῖο πολυσφρηγῖδος ἐνείη,
Καὶ τετελεσμένη ἐν πάντεσσι κραδίαις τε νόοις τε,
Πνεύματος οὐρανίου ὑποκαρδίου ἐν πραπίδεσσιν
Αἰὲν ἀέξοντος θεόπνευστον ὑπὸ φρένα χάρμα.
Εἰ καὶ ἔπειτα τιτήνας πᾶσι τις ἐὼν σέλας ὄσσων
Ἐς γλαφυρὰ σφόδρα σιγαλόεντα θεηγενῆ ἔργα,
Λεύσσειεν τὰ σαφὲς φθέγγεται ἔμφρονι σιγῇ
Θνητόν τε λάλον τε θεοῦ σοφίης τύπον ἄμμιν.
Ὡς γὰρ ὁρῶμεν ἐπὶ χθονὶ ἡνιόχους πω ὄχημα
Ἀγχίπορον μάστιγ᾽ ἵππους πλήξαντας ἐλαύνειν,
Ἤ τινα ταῖς νήεσσι θοαῖς γαίης ἀπέναντι
Ναύκληρον διαπείρειν ὑγρὰ κέλευθα θαλάσσης,
Οὐρανίων ὡσαύτως ἀκάματον δρόμον ἄστρων
Ἀγχιφανῆ μάλ᾽ ἂν ἀθρήσαιεν ἐκεῖνοι ὀπωπαῖς
Ὁρμαίνοντες ἀεὶ φρεσὶ τὴν σοφίην τε κράτος τε
Παγγενέταο πατρὸς, καὶ οὐ μοῦνον νοέοντες

Ὅτι

Ὅτι θεὸς, γεννήσειεν βιοδώτορι μύθῳ
Τὸν κόσμον πολύμορφον ἐπὶ ἅμα κτίσμασι πᾶσιν,
Ἀλλὰ καὶ ὀφθαλμοῖς κραδιῶν πανδερκέσιν ἐγγὺς
Συμπάντων ταμίην παρέοντα θεὸν γενετῆρα
Εἰσαθρήσαιεν τάδε γεννηθέντα φυλάσσειν,
Πρὸς δὲ σαφὲς ζωήν τε σθένος τ᾽ ἐν πᾶσιν ὀφέλλειν
Τόνδ᾽ αἰσθαίατ᾽ ἔσω κείνων ἐν σώματ᾽ ἕκαστος.
Τοῦ δ᾽ εὐπάρχοντος πατρὸς πρὸς ἀρχιγενέταο
Ἐγγυαλίζοντος ζώοις βιοτήσιον ἆσθμα
Τόνδε φίλα σφίσιν ἐκ θυμοῦ φρονέοντα μάθοιεν.
Ἔνθεν εὐφροσύνης ἐπιβησάμενοι ἀποβάνθου,
Καὶ σκιρτησάμενοι ποσὶν αἰὲν ἀγαλλομένοιο
Χάρμα φερόντες ἐν ἀλλήλοις ἐπιμάρτυρει ταρσῷ
Τόνδε πάλιν γ᾽ ἀγαπήσαιεν φιλίῃ τιν᾽ ἀνάγκῃ,
Καὶ φρενοθελγῆ ἑοῖο νοήμονος ἔργα ποιητὸς
Γνοῖεν ἔμμεν τι κάτοπτρον ἀπλανῆ ἔνθεν πέμπον
Θεσπεσίης κείνου αἴγλην σοφίης τε κράτευς τε,
Λαλοῦν τοῦ φιλοφροσύνην ἐπιμάρτυρει σιγῇ:
Τοὶ γὰρ Ἀδὰμ καὶ ὀψιγόνων ἡ πᾶσα γενέθλη
Εὔδενδρον δὴ ἀεθαλέος κῆπον παραδείσου
Ναιόντων, καὶ ἔκηλοι ὁμοζήλοισιν ὀπωπαῖς
Ἔργα θεοῖο σοφὰ σκοπιάζοντες πολυγηθοῦς
Ἐν στήθεσσι φίλον τέρψαιεν ἀνώλεθρον ἦτορ,
Καὶ πουλυφροσύνην, ἠδ᾽ ὑμνείην γενετῆρος
Εἰνὶ φυτοῖς πολυείδεσιν ἀμφαδίην νοέοντες
Οὐκ ἀβόητον ἀκηρύκτῳ τινὶ φάρει σιγῆς

 Κλεψά-

Κλεψάμενοι κεύσαιεν ὁμηγύρου ἔνδοθι κῆρος,
Αὐτὸν ἑὸν πάντες κεράσαντες θαύματι φωνὴν
Λυπούμενοί τε θεηγόρα χείλη αὐτικέλευστοι
Ομβριμοέργου ἀμειβαίῳ πατρὸς τινι θεσμῷ
Αλλήλαις ἐπαείσαιεν πολυτεχνέα ἔργα,
Καὶ θεουργοσύνης κείνου ὑπομνήματα ταῦτα
Εἶναι εὐχόμενοι μὲν ἀμοιβαδὸν ἄλλος ἐπ' ἄλλῳ
Θελγομένοις τεύξαιεν ἀληθῆ ὤασι μῦθον.
Ως πολυπτερέων μερόπων γε πολύτροπα φῦλα,
Οσσα ἐνοίκουσιν πανδώρου ἐδέθλια γαίης
Εσχατίων ἀφ' ὅθεν φαεσίμβροτος ὄρνυται ἠὼς
Χρυσοφανῆ Τιθώνου λέκτρα λιποῦσα γέροντος
Μέχρι ῥόον καλὸν βαθυκύμονος ὠκεάνοιο
Τοῦ Ατλαντικοῦ, ὅνγ' ὑποδὺς ὀξὺς καταβαίνει
Ηέλιος πρὸς ἑὴν μεμαὼς εὐνὴν παλινόρσαι,
Φῦλα τάδ' οὐρανίης πάμπαν σοφίης πλέω εἴη
Θεολόγων φοιτητῶν χρησιμοεργὸς ὅμιλος,
Μισόκακος καὶ θεοσεβῶν διαπρακτῆρσιν ἔργων,
Τῶν σφείων περικλειτῆ διάκτορον ἔργον ὑφαίνων,
Εἰς ὅσον εὐρυγυίος ἀτέρμονα νύσσαν ἀμοιβεῖ
Αἰών, φυταλιῇ δ' εὐχλώρου παραδείσου
Αἰθούσῃ ῥα γεραιοῖο θεοκλήτοιο μελάθρου
Φυλλοκόμων δένδρων ζωθεῖσ' ὑψάντυγι μίτρῃ,
Εἰν ᾗ ἁγναὶ ἀθλητῶν ψυχαὶ κρειόντων
Ανδράσι συμμιγέες χθονίοισιν ἀπήμοσιν εἶεν
Υψίστοιο διδασκάλου ἀκροάοντες ἰωὴν.

Αὐτὰρ

Αὐτὰρ πομπὸς ἀλιτροσύνης Σαθανᾶς καὶ ὀλέθρου
Τοσσατίην γε χολωσάμενος κακὰ βυσσοδόμευσεν
Ανδρομέῳ γενεῇ ὀλβιοδαιμονίην μεθέποντι,
Καὶ τέχνην ῥάψας δολίην ἤλλαξεν ἑαυτὸν
Ανδροφόνου ὄφεως εἰς τὴν ἀπατήνορα μορφὴν,
Καίμυλα κωτίλλων χολιόφρονα μῦθον ἴηλεν,
Ω ζαθέους ποιησαμένους λόγον οὐδέν' ἐφετμῆς
Πρωτογόνους γενετῆρας τὴν δ' ἀλιτεῖν ἔπεισεν,
Ωστε δρεψαμένους δένδρου κακοεργέα καρπὸν
Γεύσασθαι μήλου θανατηφόρου ἠδ' ὀλοοῖο,
Οὗ σφετέρας ἀπέχειν μακρὰν παλαμου ἐδέησεν. παλά μουσ
Ω πέπονες τούτου πρὸς ὅπω ὀνείδε' ὄνοσσαν,
Ουτιδανοὶ μήλοιο χαμαιγενέος χάριν ἔστε
Εσσομένων ἐν ἀκούοντες κάκ' ἐλεγχέα παισὶν,
Φεῦ φεῦ δαιμόνιοι προβεβούλευτες ἀρχεκάκοιο
Τοῦ Σαθανᾶ χάριν ὑψιμέδοντος ἀνάρχου ἰωῆς
Τοσσάτιον τοῦδε χάριτος προδεδώκατε ὄλβον.
Εμπροσθεν μὲν γὰρ σοφίῃ τε δικαιοσύνῃ τε,
Καὶ ἄλλῃσι θεοῦ ἀρεταῖς κοσμήμενοι ἦτε,
Νῦν δὲ ταῦθ' ὑμᾶς ἐναρίξας κεῖνος ἀπηύρεν.
Οφθαλμοὺς γὰρ τῶν θείων ἐπιμάρτυρες ἔργων
Εἰστ' ἀτεχνιασάμεναι ποιήματα θεοῦ ἀλάωσεν:
Τὸν νόον ἰθυκέλευθον ἀπ' ἀστεροπητοῦ ἐέλδωρ,
Καὶ σοφίην θέμενος σκοτίῃ τινι τυφλὸν ἀλήτην,
Ουχ οὕτω νοέοντα σαφὲς θεὸν ὡς προπάροιθεν:
Καὶ τρεχέμεν πω εἰς ἀρετῆς ὁδὸν ὀρθοκέλευθον

Χῶλα

Χῶλα μέλη θεὶς θεοσεβῶν ὁρμήματα ἔργων
Ἐν θυμῷ δήσας δυνάμεις πάσας κατέαξεν
Τὸ πρὶν ἐθίμας ἂν τὸ καλὸν τελέσασθαι ἐάσας
Ζωάγρειο θέλημα πατρός, πρὸς δ᾽ αὐχένας ὑμῶν
Κάμψ᾽ ἂν ἀλιτροσύνην τόδ᾽ ἐλεύθερον ἦμαρ ἀπηύρας.
Ἔνθεν ὁ θυμὸς ἑὼν πρὶν πάροιθεν ἀεὶ θεόδεγμον
Ἔνδιον, αὖ Σαθανᾶ ὄχετος ῥηξήνορός ἐστι.
Ἐν γὰρ πύλαις θανάτοιο κραταιὴ μοῖρα κατέσχε
Πάντας ἐν ἀρρήκτοις δεσμοῖσι πεδήσασ᾽ ἂν ὅσαν
Ταῖς πολιῇσι κόμην λευκαίνεται ἔμπεδος αἰών,
Ὑψιμέδων δὲ πέλων βασιλεὺς πάννυχι ἐλεήμων
Ψευδολόγοις μύθοισιν ἐπιχθονίων γένος ἀνδρῶν
Οὐλομένης ὄφεως περιγράμμενον ἠδὲ πεποιθὸς
Ἐς βίον ἐκ λυγροῖο μετ᾽ αὖ ὀλέθροιο βίβασεν.
Οὐ γάρ τοι ἠνέσχετ᾽ ἰδὼν ἐφθαρμένον ἔργον
Πλάσματος ἠγαθέοιο τὸ χειρὸς ἐκείνου ἄνυσσεν
Ἔμμεναι ἀγχίθεον καὶ ἀληθῆ εἰκόνα πατρὸς
Ἰσοφυὲς κείνου παράπαν μίμημα φοροῦσαν,
Μηδὲν ἔχειν τε νόμον κραδίαις κεχαραγμένον ἄλλον
Ἢ κτιστῆρος ὑποδρῆσαι θεσμοῖσιν ἑοῖο, κεχαραγμένον
Ὥστε μόνον ῥέζειν καὶ φρεσὶ μενοινέμεν ἦσιν,
Ὅσσα κέλευσε κυβερνητῆρι πατὴρ τινὶ θεσμῷ,
Ὧν τὸ πρῶτον ἐνὶ κραδίαις σύγγραμμα χάραξεν,
Τοῦτο δ᾽ ἀμαυρώσας αὖτ᾽ ἠερόφοιτος ἀλάστωρ
Ἀνθρώπῳ λυγροῖο τέλεσσεν πῆμα κακοῖο.
Ἀλλὰ δυοῖν τόδε παντοκράτωρ ἀνὰ πλαξὶ νέωσεν
Ἐγγράψας

Ἐγγράψας χερσὶ προτέρου ψήφισμα νόοιο,
Ἀστράψας νεφέων ἐκ πυρόεντος ὁμίχλης
Εἰνὶ Σίνα ὄρεός γε ταυσκοπέλοισι καρήνοις
Ἰσραὴλ μώσει κατενέγκειν ὤπασε λαῷ,
Ὃς νεφεληδὸν ὄρους ῥίζην κύκλωσεν ἁπάσην,
Ἔδδεισεν δ᾽ ἐγγὺς τρομέοντι ποδὸς ἴχνος ἐπέχειν
Βρονταίην βαρύδουπον ἀκούσας αἴθειον ἠχώ.
Αὐτὰρ ὑπερβασίην μετὰ πρωτογόνων γενετήρων
Ἡμέων πᾶσιν μὲν ἀτάσθαλος ἠδὲ κακοῦργος
Οὐκ ἀγαθοφρονέων τι καὶ ἂν τὸ ἀνύσσαι ἐφετμὰς
Πατρὸς ἐπουρανίου πάντως ἀχρεῖός ἐστι.
Τοὔνεκ᾽ ἑὸν φίλον υἱὸν ἀπ᾽ οὐρανόθεν προέηκε,
Ὅν γε νεοπλανέσι πρὶν τοῖς γενετῆρσιν ὑπέστη,
Ὅστε πατρὸς μεγάλου ἰότητ᾽ ὑψίθρονον ἕδρην
Παρθενικῆς λήψας φυγοδέμνου γαστέρα δῦσεν,
Καὶ ὁμόφοιτος ἀεὶ Ἑβραίοις ἀνδράσιν ἦεν,
Ἀμπλακίης ἔκτισεν ἄποινον ἕως ὑπὲρ ἡμῶν
Ἄρκιον, ἐν σταυρῷ ὑπομείνας κῆρα μέλαιναν,
Ὃς καὶ ἐκ κόλπου κατενήνοχος ἑοῖο τοκῆος
Ἐν κόσμῳ κήρυγμα ποίησ᾽ εὐάγγελον αὐτός,
Καὶ ὀμφῆς προκελεύθου πίστιν ἄεξε προφητῶν,
Πνεύματος αὐτογόνου ἐπιδήμιον ὄψιμον αἴγλην
Ἐς κραδίας ῥα φιλοχρίστου βεβληκὸς ὁμίλου,
Ὥστ᾽ ἔμμεναι παντὸς κραδίην θεοδέγμονα νηόν,
Εἰν ᾧ οὐράνιος διδαχῆ ἀνάπαυστος ἐνηχοῖ,
Ἧς κεῖνος πρῶτος κῆρυξ εὐάγγελον ὀμφὴν

Ιαχ' Αδαμ μέθ' ὑπερβασίην ἐν τῷ παραδείσῳ,
Θήλιον ἔρνον ὑπισχόμενος χραισμήτορα κόσμου.
Αὐτὰρ ὁμοῤῥόθιος τοῖς ἀρχεγόνοισι πάτρεσιν
Ενδόμυχός τε διδασκαλίης βιοδώτορος αὐδὴ
Αγνὸν Ιουδαίης ῥα φιλήσασα κόλπον ἀρούρης
Δηρὸν ὑπὸ φρητρῶν τείχει φρουρουμένη ἔσκε,
Τίμησεν καθάπερ κειμήλιον ἐνδόθι χηλοῦ.
Τόνδ' ἕτερον λύσσης αὖ δαίμονος οἶστρος ἔλαυνεν
Λυσσαλέου κόσμοιο ἀτάσθαλον θυμὸν ἀλήτην,
Αφρονος ὃς μεγάλῳ θυμοῦ κυμαίνεται πυρσῷ,
Καργαλέου μισοῦς, ἔριδός τε, καὶ ἔμπλεος ἄρης,
Νηείθμας κρυερῷ ψυχὰς ἀΐδι προΐαψεν,
Καὶ ζαθέην πᾶσιν τιμὴν ποιήμασ' ὀπάσσας
Μύθιον οὐτιδανῶν γε θεῶν ἐζεῦγεν ὅμιλον,
Ψευδαλέην τε τέλεσσεν ἀληθέος εἰκόνα θεοῦ,
Θαρσάλεον μὲν ποιήσας ἐνὶ φρεσὶ θυμόν,
Αλλὰ ποδὶ σκολιὴν σφαλερῷ εἰς οἶμον ὀλέθρου
Ωδεύσεν νυκτὸς λιποφεγγεῖ σκιόδρομος ὄρφνῃ.
Παντῶν μὲν γὰρ ἐν ἀφραδέεσσι βιοπλανέεσιν τε
Ηθεσιν ἀμπλακίων ἐγκύμονων ἀνδρῶν ἀλήτην
Ρηγεδανὴν βιότου ἐσαθρήσαντο τελευτήν.
Αἲ αἲ τόφρα πολυπλανέων ψυχαὶ ἀνάριθμοι
Αμμορίῃ μύθοιο θεοῤῥήτου ὀλέκοντο
Τετράκις ὄφρα χρόνος χιλιὸν ἐν πολυκαμπέϊ νύσσῃ
Χίλια κύκλα τέλεσσε περιπλομένων ἐνιαυτῶν
Θνητὸν γὰρ τότ' ἔχων δέμας ἀθάνατος θεοῦ υἱὸς
Χριστὸς

Χριστὸς ἄναξ λαόσσοος ἑοῦ πεθρόου ὀμφῆς
Γῆσιν ἐν Εβραίων ἱερῷ δαπέδῳ ἀνάκτιζεν,
Καὶ κρατερὸν πιστῶν ἐπὶ μῦθον ἔτελλεν ἑταίρων
Εσμῷ ὀπισθοπόρῳ, ὃν κόσμον ἀτέρμονα φοιτᾶν
Εβραίων κλήτοιο θεουδέος ἐκτὸς ἀρούρης,
Οφρα πανελλήνων ἐς οὔατα δύσμαχα φῶτες
Εσπείρῃ ζαθέοιο βιαρκέα ῥήματα φωνῆς,
Θεσμὸν ἑῆς διδαχῆς Ελλήνια τέκνα διδάξας.
Αὐτὰρ παῦροι ἀμείψαντο γε μετάτροπον ἦθος
Γῆσι ἀῤῥήκτοισιν ὑπεζεύγνυντο λεπαδνοῖς,
Ενθεν ἀεὶ ἀγέλη μικρὸς θεοκλήτου ὁμίλου
Εσκε δαπαρθεῖσα ἀλιτρονόῳ ἐνὶ κόσμῳ
Η μύθῳ πεισθεῖσα θεοῦ καὶ ἐμβεβαυῖα
Οὐρανοῦ ἤδη ἐν οὐδένδρῳ ναίει παραδείσῳ.
Εστ' οὖν ἤδε θεογλώσσος διδαχὴ ἐνὶ πᾶσιν
Βελτίστη ῥα δαημοσύναις, διὰ μὲν γὰρ ἐκείνης
Τόνδε τανηλεγέος θανάτου μάλα δεσμὸν ἄλυξεν
Ανδρομέοιο τοκεὺς γένεος πρωτόπλαστος Αδαμ,
Δεύτερος ἤδε Νόαχ κείνου γενετὴρ ἀγάκλητος,
Καὶ βροτέης Αβραμ θάλλον βλάστημα γενέθλης,
Κάλλιμα καὶ ἄλλοι χθονίου ἄνθη βιότοιο
Φῶτες ἔλαυνον ἀμαρτοσύνης δούλιον ἀνάγκην.
Ημος γὰρ κρατερῶς ηὔξησεν ἀτάσθαλον ὕβριν
Ην τε βίην Σαθανᾶς ἀνὰ κόσμον ἄναρχος ἀγήνωρ
Πᾶσιν ἀλιτροσύνης μὲν δούλιον ἦμαρ ἐπῆγεν,
Εν θανάτου τε μελάθρῳ ἀειφρούρητον ἀλιτρόν

Καὶ

Καὶ βαρύδεσμον ὅμιλον ἀλυκτοπέδῃσι κάτειχεν
Ανθρώπων τὸ ἐπὶ θυμοῖο διάκτορον ἐν μόν,
Τῆμος ἐν ἀσυφέλικτον ἑκούσιον αὐχένα πάντες
Ουρανίης διδαχῆς πίστιν κάμψαντες ἐκεῖνοι
Τοῦ Σαθανᾶ μανιώδη ὑπέκφυγον ἦχον ἱμάσθλης,
Κἀρχαίου παραδείσου ἐναθρήσαντο γαλήνην,
Εν ζωοῖς ἔτ' ἐπὶ χθονὶ καρπὸν ἔδοντες ἀρούρης,
Εἶτα δὲ καὶ μετὰ τέρμα βίοιο μετάτροπος ὄχλος
Εκ θανάτου πυλέων αἰώνιον ἐν χόρον ἦλθεν.
Εἰ οὖν χριστόφρων θυμός σοι ἐέλδεται εἰδεῖν
Αὖ πρότερον παράδεισον ἐλεύθερον ἔνθεον ἦμαρ,
Ηδὲ μελαγχλαίνου κῆρας θανάτοιο φυγόντι
Αμβροσίης ἐδρᾶν ζωῆς ὑψήνορα τιμὴν,
Τῆσδε θεοπνεύστοιο διδασκαλίης μάθε θεσμὸν,
Τῆσδε νόον πραπίδεσσιν ἀκοιμήτοισι φύλαξον,
Οὐκ ἄξουσ' ἀίδαο σ' ἐν ἀχλυόεντα μέλαθρον
Κλεψινόοισι παραπλάσσειν σεῖο φρένα μύθοις,
Ες δὲ τέλος κείνην ἡμῶν κτίσεως ὄχα πέμψει,
Τούτεσιν σε διδάξει παμβασιλῆα τοιῆα
Γινώσκειν καὶ τιμαῖς ἐναγέεσσι γεραίρειν,
Αζομέναις τε φρεσὶν κείνοιο κρῆναι ἐέλδωρ.
Τοὔνεκα γὰρ κεῖνος θεὸς κρατερῷ τε σοφῷ τε
Οὗ στόματος μύθῳ κόσμον πολύμορφον ἔτευξε,
Καὶ μόνος οἴακ' ἔχων κείνου παλάμῃσι κυβερνᾷ
Αὐτὸς ἐφεστηκὼς αἰὲν νύκτας τε καὶ ἦμαρ,
Θεοσεβοῦς ἔμεναι μέγαρον ναετῆρος ὁμίλου,

Τοὔνεκα

Τοὔνεκα καὶ ἐξ ἧς ἀδύτου φρενὸς ἀθανάτοιο
Ης σοφίης τ', ἀρετήν τ' ἐν τῇ κραδίῃ νεοτεύχη
Ανθρώπου νοερὰς ῥίμφα σπινθῆρας ἴηλεν,
Θεσπεσίων θεσμῶν σύγγραμμ' ἐν ταύτῃ ἔθηκεν,
Ο πρὸς ἀπειθείας ἔνδον πραπίδων ἀφανισθὲν
Κεῖνος ἐὼν ἐσθλὸς κοίνωσε φιλόφρονι θυμῷ,
Εξω ἐν δοιοῖν αὖθις λιθίνοισι πίναξι
Εννομα τῶν ζαθέων θεσμῶν κεφάλαια χαράξας.
Ως ἐπιγινώσκειν ἡμᾶς θεοτερπὲς ἐέλδωρ,
Καὶ φρενὸς ἀχράντου πρότερον ψήφισμα τελέσσαι,
Τοῦτο δὲ πάντα κατακρίνει γαιήιον ἄνδρα,
Οττι οὐδεὶς κραδίων ἐγγεγραμμένα δεσμὰ φυλάσσει,
Οἰογενὴ οὖν τέκνον ἀπ' οὐλύμποιο καρήνων
Ρύσασθ' ἐκ θανάτου ψυχὰς προέηκεν ἐν αἴλῳ
Οσπερ ἐστὶ πίστιος φρένα πνευματικῷ πυρὶ λούσας
Φωτὸς ἀληθείης νοεροῖς ἀκτῖσι καθαίρει,
Ηδὲ πνεῦμ' ἅγιον κείνης ναετῆρα τίθησι,
Τοῦτο θεοῦ πιστὸς διδαχῆς γε διδάσκαλός ἐστι,
Ενδοτι κῆρος ἔτης κραυγάζων θεσμὸν ἰωῆς.
Νῦν οὖν τῶνδε θεηγενέων μεγάλων τέλος ἔργων
Αλλ' αὐτοῦ κρυφίην σοφίην τε, κράτος τε τέλεσσαν,
Τὸ γνωρίσσαι ἔμεν σωίης κεῖνον τε σεβίσσαι.
Αμφότερον δὲ διδασκαλίη φησὶν θεόπεμπτος.
Καυχάομαι ἐτύμοισιν ἐγὼ μύθοις ἀναπτύσσειν
Μούνη τοσσατίη ἄλλων ἐν πλήθεϊ τεχνῶν,
Νουκαλέου μόνον αἱ τελέθουσιν φάρμακα κόσμου,

 Τῶνδε

Τῶνδε χαμαιγενέων ἔργων τε διάκτορος οὐμός,
Οἵ δὴ αἰσχροέργοιο περικβάσεως μετόπισθεν
Υμείων γενετήρων, ἀγχινόων φύσιν ἀνδρῶν
Εξεῦρεν μὲν ἀνάγκῃ ἐμπεδόμητος ἀωρῶν.
Εἰδ᾽ ἄρα μὴ ὑπαλύξαντες κενεόφρονι βουλῇ
Οἵδ᾽ ὅρον ἀγγελίης πατρὸς οὐρανίου παρέβησαν,
Οὐδεμίη κεῖνον χρεὼ μαστευέμεν εἴη,
Αὐτὰρ ἐμοῖο θεοφραδέων μύθων περὶ πάντων
Ασκητῆρος ὑποδρηστήρια ἔργα τελέσσαι
Ανδρομέης χρεὼ μεγάλη πέλε φῦλα γενέθλης,
Οὕνεκ᾽ ὅτ᾽ ἐξ ἀρχῆς χθονὸς ἀκροατήριον οὐδας
Παγγενέτης γενετὴρ θεορημοσύνης θέλγειν εἶν,
Ακρατὴν τε βροτὸν κείνης ἐν τῇδε γενέθλῃ. Ακροατή
Καὶ μὴ ἰητρὸν ἀλεξίκακον νηπενθέα ποιεῖν
Φαρμακ᾽ ἐπιστάμενόν τ᾽, ἢ θεσμοτόκον πολυΐδριν,
Οὐδὲ γεωμέτρην, ἢ ἀστρολόγον τινὰ φῶτα.
Εἰμ᾽ ἄρ᾽ ἔγωγε παλαιοτάτη διδαχὴ καὶ ἀρίστη,
Η ἀγαθὰ φρονέουσ᾽ ὑμῶν γένει ἐν γε θεσμῷ
Πᾶσι βροτοῖς τέμνειν καταδείκνυμι ὀρθὰ κέλευθα
Ζωῆς ἐσσομένης οὐ τὴν αἰώνιον ἀρχήν,
Αλλ᾽ οὐθ᾽ ὡς δειλὴ βροτέων χάριν εὑρέμεν οἶδα.
Ηδη γὰρ πᾶς τις μεθύων λύσσῃ ἀχαλίνῳ
Τῆσδε θεορρήτου χάριτος λόγον οὐδένα ποιεῖ,
Αρχεκάκου δὲ φιλοκτεάνῳ δεδονημένος οἴστρῳ
Δαίμονος, ἐν ἄλλῃσι ξυνηφενίην τε καὶ ὄλβον
Τέχναις, καὶ κάλλος χθονίης ἀπατήλιον ἀρχῆς,

Ηδυβίων

Ηδυβίων τε τρόπων ζητεῖ γε νοοσφαλὲς ἦθος,
Αλλὰ φίλοι θυμῷ τῷ ἐμῷ κεχαρισμένοι ἄνδρες,
Ηδρίησιν ἀποτρέψασθε βιοπλανὲς ἦθος,
Χρυσομανοῦς τε φρενὸς φιλοκερδέα λύσσαν ἀντᾶς.
Δεῦτε φίλοι παῖδες λογίων θεσμοῖσιν ἐμεῖο
Αὖτ᾽ ὑποτασσόμενοι δρηστήρι᾽ ὑφαίνεται ἔργα,
Οὐκέτ᾽ ἔχοντες ἀεὶ νόον ἀλλοπρόσαλλον ἀλήτην,
Ζωοποιοῖς δὲ λόγοισι βεβαίως ἐμβεβαῶτες
Ωκυμόρων τεχνάων με προβεβούλατε πασῶν.
Αντὶ ταχυφθιμένης κόσμοιο ξυνηφενίης τε
Καὶ τρυφέων κεῖναι σφαλερῶν ἃς εἶχον ὀπάσσαι,
Εκ θανάτου ἰθυποείην ὑμῖν ἀποδείξω
Οὐρανίου πατρὸς ὑψιμελάθρου ἐν ἔνδιον αὐλῆς,
Εκ κραδίης γὰρ τοῦδ᾽ ἀνέτελλα γνήσιος ἔρνος.
Αὐτὰρ δοχμώσαντες ἐρειδόμενον γόνυ γαίῃ
Ικεσίαις κεῖνον πάντες μειλίξετε εὐχαῖς,
Ξεινοδόκειον ἐμοὶ μικρὸν δόμεναι ἐνὶ κόσμῳ
Νῦν κυμαινομένῳ πολέμοισι κακοῖς τε καὶ ἄρει,
Καὶ περιβαινέμεναι ἀγέλῃ μέσθεν βλεφάροισιν
Αἰὲν ἀκοιμήτοισιν ἐπισκοπέοντα ξυνῆρα,
Οφρα δι᾽ ὀρθολόγου στόματος πιστῶν ἱερουργῶν
Θεῖα σέβειν ὑμᾶς φρεσὶ θεολόγοισι διδάξω.

τέλος τῷ θεῷ δόξα.

# ORATIO IN LAUDEM GRAECAE LINGUAE PUBLICE RECITATA IN CELEBRI ACADEMIA REGIOMONTANA, NONO DIE SE-

*ptembris Anno salutis* 1568. *dedicata prudentissimis ac grauissimis uiris Dominis Consulibus ac Senatoribus Regiae Urbis Elbingae, patronis literarum studiosissimis.*

*Authore*
M. GREGORIO CROGERO
*Mesyleo Marchico.*

*Regiomonti Borussiae in Officina Iohannis Daubmanni, Anno* 1568.